κακία ψυχῆς, μηδὲν τῶν οἰκείων προϊεμένη, ἀλλὰ μᾶλλον ἐκ τῶν ἀλλοτρίων κερδαίνειν ἐπειγομένη. ἀνελευθερίας δὲ εἴδη τρία, κυμινοπριστεία, γλισχρότης, κυμβικεία. ἔστι μὲν οὖν κυμινοπριστεία, ἡ τὸ ἐλάχιστον ἀποτεμνομένη, καὶ ἐν ἐνδείᾳ δόσεως παρεχομένη. κυμβικεία δέ ἐστιν ἡ μηδόλως ἀπ' ἄλλων λαμβάνουσα, διὰ τὸ μήτε τῶν οἰκείων αἱρεῖσθαι διδόναι. γλισχρότης δέ ἐστιν, ἡ βραδέως καὶ μόλις διδόναι τι παραδεχομένη, κατὰ μεταφορὰν τῶν γλίσχρων τῶν μόλις ἐκ τῶν χειρῶν ἐξολισθαινόντων. ἀσωτία δέ ἐστι κακία ψυχῆς, ἐφ' ἃ μὴ δεῖ, καὶ μάτην ἀναλίσκουσα τὰ οἰκεῖα:.

ε.

ἀσωτία. ἐλευθεριότης. ἀνελευθεριότης.

κυμινοπριστεία. κυμβικεία. γλισχρότης.

Μεγαλοπρέπειά ἐστιν ἕξις ἐπαίρουσα τοὺς ἔχοντας αὐτήν, καὶ φρονήματος πληροῦσα. λέγεται δὲ μεγαλοπρεπής, ὁ περὶ τὰς μεγίστας καὶ δαπανηρὰς τῶν ὑποθέσεων καταγινόμενος. ὁποῖαί εἰσιν, αἵ τε περικαλλεῖς ἱδρύσεις ναῶν, καὶ τὰ τούτων πολύτιμα σκεύη. τείχη τε λαμπρότατα πόλεως, καὶ δημοτελεῖς ἑστιάσεις. ταύτης ὑπερβολὴ μέν, ἀπειροκαλία. ἔνδεια δέ, μικροπρέπεια. ἀπειρόκαλός ἐστιν, ὁ ἐν πράγμασιν ἀλυσιτελέσι μεγάλα καταναλίσκων, ὁποῖός ἐστιν ὁ τὴν εὐτελεστάτην καὶ ξυλίνην οἰκίαν ὀροφώσας χρυσίῳ, καὶ κεραμίσιν ἐκ μολύβδου ταύτην περισκεπάσας. μικροπρεπὴς δέ ἐστιν ὁ τἀναντία τούτων ἐπὶ πᾶσι διαπραττόμενος:.

ς.

ἀπειροκαλία. μεγαλοπρέπεια. μικροπρέπεια.

Μεγαλοψυχία ἐστὶν ἕξις μὴ λόγου ὑπεράνω ποιοῦσα τοῦ κοινῇ συμβαίνοντος φαύλοις τε καὶ σπουδαίοις. ἔστι δὲ αὕτη τῶν πολλαχῶς λεγομένων, ὡς Ἀριστοτέλης ἐν τῷ δευτέρῳ λόγῳ τῆς ἀποδεικτικῆς διατείνεται. λέγεται γοῦν μεγαλόψυχος, ὁ μεγάλων ἑαυτὸν ἀξιῶν, ἄξιος ὤν. ταύτης τοίνυν τῆς μεγαλοψυχίας ὑπερβολὴ μέν, χαυνότης. ἔλλειψις δέ, μικροψυχία. λέγεται δὲ χαῦνος μέν, ὁ μειζόνων ἑαυτὸν ἀξιῶν, ἀνάξιος ὤν. μικρόψυχος δὲ ὁ ἐλαττόνων ἑαυτὸν ἀξιῶν, παρ' ὃ ἄξιός ἐστιν:.

ζ.

χαυνότης. μεγαλοψυχία. μικροψυχία.

Ἔστι δὲ καὶ ἄλλη τις ἀρετή, ἥτις καλεῖται φιλοτιμία, οὕτως ἔχουσα πρὸς τὴν μεγαλοψυχίαν ὡς ἐλευθεριότης πρὸς τὴν μεγαλοπρέπειαν. καὶ γὰρ καὶ τὸν μεγαλοπρεπῆ, ἐλευθέριον ὀνομάζομεν. περὶ τὰ αὐτὰ γὰρ σχεδὸν καταγίνονται ἄμφω. οὐ μὴν καὶ ἀνάπαλιν τὸν ἐλευθέριον, μεγαλοπρεπῆ. ὁ μὲν γὰρ ἐλευθέριος, περὶ τὰς ἁπλῶς δόσεις καὶ λήψεις ἐστίν. ὁ δὲ μεγαλοπρεπής, περὶ τὰς δαπανηράς, καὶ λαμπρότητα ἐχούσας καὶ μέγεθος, ὡς ἀνωτέρω εἴρηται. παραπλησίως οὖν καὶ τὸν μεγαλόψυχον φιλότιμον λέγομεν. οὐ μὴν δὲ καὶ τὸν φιλότιμον, μεγαλόψυχον. πρᾳότης ἐστίν, ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν πρὸς ὀργὰς δυσκίνητοι γίνονται. ταύτης δὲ ὑπερβολὴ μέν, ὀργιλότης. ἔλλειψις δέ, ἀοργησία. ὀργιλότης ἐστί, κακία τοῦ θυμοειδοῦς πρὸς ἄμυναν ὁρμῶσα τοῦ παροξύναντος. ἀοργησία δὲ ἐστὶ κακία τοῦ θυμοειδοῦς μόλις καὶ βραδέως, ἢ μηδ' ὁπωσοῦν κινουμένη πρὸς ἄμυναν τοῦ λελυπηκότος.

η.

ὀργιλότης. πρᾳότης. ἀοργησία.

Ἡ περὶ τὸ ἀληθὲς καταγινομένη μεσότης, λέγεται ἀλήθεια. ἧς ὑπερβολὴ μὲν ἀλαζονεία. ἔνδεια δέ, εἰρωνεία. ἀλαζών ἐστιν, ὁ μεγάλ' ἄττα περὶ ἑαυτοῦ προσποιούμενος ἔχειν, μὴ ἔχων δέ. εἴρων δέ, ὁ ἔχων, μὴ ἔχειν δὲ προσποιούμενος:.

θ.

ἀλαζονεία. ἀλήθεια. εἰρωνεία.

Τῶν δὲ περὶ τὸ ἡδὺ μεσοτήτων, ἡ μέν ἐστιν ἐν παιδιᾷ, ἡ δέ, πᾶσι χρησιμεύουσα τοῖς ἐν τῷ βίῳ. τῆς μὲν οὖν ἐν παιδιᾷ ἡδέος, μεσότης μέν, εὐτραπελία. ὑπερβολὴ δὲ βωμολοχία. ἔνδεια δέ, ἀγροικία. εὐτραπελία λέγεται, ἄνευ σκωμμάτων καὶ κολακείας. βωμολόχος δέ ἐστιν ὁ μετὰ σκωμμάτων σὺν γέλωτι καθαπτόμενος τῶν παρατυχόντων. ἄγροικος δέ ἐστιν ὁ ἐν πᾶσιν ἀμαθής, καὶ μήτε ἀστεῖόν τι, μήτε λόγου ἐχόμενον δυνάμενος φθέγξασθαι:.

ι.

βωμολοχία. εὐτραπελία. ἀγροικία.